## I. DORIS MEDIA

### 1. *DGE* 85. Esmirna, *ca.* 338.

θεός.
ἔκρινε ὁ δᾶμος ὁ τῶν
Ἀργείων κατὰ τὸ δοκη-
μα τοῦ συνεδρίου τῶν
Ἑλλάνων, ὁμολογη-
σάντων Μαλίων καὶ
Κιμωλίων ἐμμενὲν ἆι κα
δικάσσαιεν τοὶ
Ἀργεῖοι περὶ τᾶν
νάσων, Κιμωλίων
ἦμεν Πολύαιαγαν, Ἑτήι-
ρειαν, Λίβειαν. ἐδί-
κασσαν νικῆν Κιμωλί-
ους. ἀρήτευε Λέων
βωλᾶς σευτέρας, Ποσίδα-
ον γροφεύς βωλᾶς, Περιλ-
λος Πεδίον.

### 2. *DGE* 92. Argos, *ca.* 248/4.- Proxenia:

Λίχα Πτολομαιέος.
ἁλιαίαι ἔδοξε τελείαι, Ἀγυήιου ἡνάται δευτάται· ἀρήτευε βωλᾶς
Ἀρίστανδρος Ἀριστέος, γροφεύς Θιότιμος Θιοκλέος καὶ Μόκλας Λαγαρία·
πρόξενον ἦμεν καὶ εὐεργέταν τᾶς πόλιος καὶ θεαροδόκον τοῦ Διὸς
Λίχαν Πτολεμαιέα ἀπὸ Βάρκης αὐτὸν καὶ ἐκγόνονς, ἦμεν δέ σφιν
ἀτέλειαν καὶ ἀσυλίαν καὶ ἐμ πολέμωι καὶ ἐν ἰράναι καὶ κατὰ γᾶν
καὶ κατὰ θάλασσαν, καὶ γᾶς καὶ οἰκίας ἔμπαίν καὶ προεδρίαν ἐν τοῖς
ἀγῶνσι οἷς ἁ πόλις τίθητι ἅπανσι.

## II. DORIS MITIOR

### Epidauro, *ca.* 350-300 a.C., IG IV$^2$, 1, 121

[…] **(8)** Εὐφάνης Ἐπιδαύριος παῖς. οὗτος λιθιῶν ἐνε[κά]θευδε· ἔδοξε δὴ αὐτῶι ὁ θεὸς ἐπιστὰς εἰπεῖν· "τί μοι δωσεῖς, αἴ τύ κα ὑγιῆ ποιήσω;" αὐτὸς δὲ φάμεν "δέκ’ ἀστραγάλους". τὸν δὲ θεὸν γελάσαντα φάμεν νιν παυσεῖν· ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε.

**(9)** ἀνὴρ ἀφίκετο ποὶ τὸν θεὸν ἱκέτας ἀτερόπτιλλος οὕτως, ὥστε τὰ βλέφαρα μόνον ἔχειν, ἐνεῖμεν δ’ ἐν αὐτοῖς μηθέν, ἀλλὰ κενεὰ ε[ἶ]μ̣εν ὅλως. ἐγέλων δή τινες τ̣ῶν ἐν τῶι ἱαρῶι τὰν εὐηθίαν αὐτοῦ, τὸ νομίζειν βλεψεῖσθαι ὅλως μηδεμίαν ὑπαρχὰν ἔχοντος ὀπτίλλου ἀλλ’ ἢ χώραμ μόνον. ἐγκαθ̣[εύδο]ν̣τι οὖν αὐτῶι ὄψις ἐφάνη· ἐδόκει τὸν θεὸν ἑψῆσαί τι φά[ρμακον, ἔπε]ιτα διαγαγόντα τὰ βλέφαρα ἐγχέαι εἰς αὐτά· ἁμέρ[ας δὲ γενομέν]ας βλέπων ἀμφοῖν ἐξῆλθε.

**(10)** κώθων. σκευοφόρος ε̣ἰ̣[ς τὸ] ἱαρ[ὸν] ἕρ̣π̣ων, ἐπεὶ ἐγένετο περὶ τὸ δεκαστάδιον, κατέπετ̣ε· [ὡς δὲ] ἀνέστα, ἀνῶιξε τὸγ γυλιὸν̣ κα[ὶ ἐ]πεσκόπει τὰ συντετριμμένα σκ[ε]ύη· ὡς δ’ εἶδε τὸγ κώθωνα κατε[αγ]ότα, ἐξ οὗ ὁ δεσπότας εἴθιστο [π]ίνειν, ἐλ̣υπεῖτο καὶ συνετίθει [τὰ] ὄστρακα καθιζόμενος. ὁδο[ι]πόρος οὖν τις ἰδὼν αὐτόν· "τί, ὦ ἄθλιε," [ἔ]φα, "συντίθησι τὸγ κώθωνα [μά]ταν; τοῦτον γὰρ οὐδέ κα ὁ ἐν Ἐπιδαύρωι Ἀσκλαπιὸς ὑγιῆ ποῆσαι δύναιτο." ἀκούσας ταῦτα ὁ παῖς συνθεὶς τὰ ὄστρακα εἰς τὸγ γυλιὸν ἧρπε εἰς τὸ ἱερόν· ἐπεὶ δ’ ἀφίκετο, ἀνῶιξε τὸγ γυλιὸν καὶ ἐξαιρεῖ ὑγιῆ τὸγ κώθωνα γεγενημένον καὶ τῶι δεσπόται ἡρμάνευσε τὰ πραχθέντα καὶ λεχθέντα· ὡ-σ δὲ ἄκου’, ἀνέθηκε τῶι θεῶι τὸγ κώθωνα.

**_DGE_ 190.- Teos, _ca._ 170 [cretense central]**

Κνωσίων.

ἔδοξω Κνωσίων τοῖς κόσμοις καὶ τᾶι πόλει· ἐπειδὴ Ἡρόδοτος Μηνοδότω καὶ Μενεκλῆς Διονυσίω, ἀποσταλθέντες πρεγγευταὶ πὰρ Τηίων πορτὶ τὰς ἐν Κρήται πόλιας καὶ διατρίψαντες τὸν πλεῖστον χρόνον ἐν τᾶι ἁμᾶι πόλει, οὐ μόνον τὰν ἀπὸ τᾶς ἀναστροφᾶς εὐταξίαν ἀπεδείξαντο, ἀλλὰ καὶ ἐπεδείξατο Μενεκλῆς μετὰ κιθάρας πλεονάκις τά τε Τιμοθέω καὶ Πολυίδω καὶ τῶν ἁμῶν ἀρχαίων ποιητᾶν καλῶς καὶ ὡς προσῆκεν ἀνδρὶ πεπαιδευμένωι, ὁπᾶι ὦν ἴσαντι Τήιοι, ὅτι ἁ πόλις ἀποδέδεκται τὸς τοιούτος τῶν ἀνδρῶν, δεδόχθαι ἐπαινέσαι τάν τε τῶν Τηίων πόλιν ἐπὶ τῶ τοιούτους ἄνδρας πεμψαι, ὁμοίως δὲ καὶ τὸς πρεγγευτάς, Ἡρόδοτον καὶ Μενεκλῆν, ὅτι καλῶς καὶ εὐτάκτως ἐνδεδαμήκαντι· τὸς δὲ κόσμος δόμεν ἀντίγραφον τῶδε τῶ ψαφίσματος, σφραγίξαντας τᾶι δαμοσίαι σφραγῖδι, ἀποκομίσαι Ἡροδότωι καὶ Μενεκλεῖ πρὸς Τηίος, ἵν' ἐπιγνῶντι καὶ αἰεί πόκα πρόνοιαν ποίωνται τῶν τοιούτων ἀνδρῶν.